www.tezaurliturgic.ro

# ἈΚΟΛΟΥΘΊΑ

ΤΟΥ͂ ἘΝ ἉΓΊΟΙΣ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν

# ΜΙΧΑΗ͂Λ ΣΥΝΆΔΩΝ

ἘΠΙΣΚΌΠΟΥ ΤΟΥ͂ ὉΜΟΛΟΓΗΤΟΥ͂.

Φιλοπονηθεῖσα παρὰ τοῦ Μουσικωτάτου
Ἐν Ἱερομονάχοις Κὺρ

## ΧΡΥΣΆΝΘΟΥ

ΠΡΩΤΟΨΆΛΤΟΥ ΤΗ͂Σ ΚΎΠΡΟΥ,

ΚΑῚ ἘΚ ΚΎΠΡΟΥ.

Ψαλλομένη τῇ Εἰκοστῇ τρίτῃ τοῦ Μαΐου Μηνός.

ἘΝΕΤΊΗΣΙΝ,

αψξθʹ. 1769.

ΠΑΡᾺ ἈΝΤΩΝΊῼ, Τῼ͂ ΒΌΡΤΟΛΙ.

CON LICENZA DE' SUPERIORI.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

140114

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



# ΤΗ͂͂ ΚΓ΄. ΜΑΪΟΥ.

## ΜΝΗ'ΜΗΝ Ε'ΠΙΤΕΛΟΥ͂ΜΕΝ ΤΟΥ͂ Ε'Ν Α'ΓΙ'ΟΙΣ ΠΑΤΡΟ'Σ Η'ΜΩ͂Ν

# ΜΙΧΑΗ'Λ ΣΥΝΑ'ΔΩΝ

## Ε'ΠΙΣΚΟ'ΠΟΥ ΤΟΥ͂ Ο'ΜΟΛΟΓΗΤΟΥ͂.

Ἑσπέρας μετὰ τὸν προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος, πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

ΠΑ'ΤΕΡ ΜΙΧΑΗ'Λ Θεόπνευστε, τὸ κατ' εἰκόνα Θεοῦ, διετήρησας ἄμεμπτον, καὶ Χριστοῦ τὸν ἄχραντον, χαρακτῆρα ἐτίμησας, καὶ διδαχαῖς σου πᾶσαν κατέσβεσας, τὴν γλωσσαλγίαν ψυχῆς στερρότητι, ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως, δι' ἧς Χριστῷ, Μάκαρ εὐηρέστησας, τῷ Παντοκράτορι.

ΠΑ'τερ Μιχαὴλ Θεόπνευστε, Ἱερωσύνης στολήν, ἐνδυσάμενος ἔδραμες, τῶν Μαρτύρων στάδιον, καὶ Χριστῷ προσενήνεξαι, διπλοῖς στεφάνοις Μάκαρ κοσμούμενος, Ἀρχιερέων τάξεις ἐφόμενος, ὢ τῆς ἀφράστου σου, χαρμονῆς Μακάριε, ἧς μετασχεῖν, ὄντως κατηξίωσαι, Θεομακάριστε.

ΠΑ'τερ Μιχαὴλ Θειότατε, σὺ τῷ ποδήρει σαφῶς, Ἀαρὼν ὥσπερ δεύτερος, καθωραϊζόμενος, τῶν Ἁγίων τὰ Ἅγια, νοῦ κατοπτεύεις, ἔνδον γενόμενος, καὶ τοῦ δευτέρου καταπετάσματος. ὢ τῆς ἀχράντου σου, ὑπὲρ νοῦν λαμπρότητος, Ἱεραρχῶν, θεῖον ἐγκαλλώπισμα, ἧς καὶ μετέσχηκας.



Δό-

www.tezaurliturgic.ro



Δόξα, ἦχος, β'.

Ὁ Σὸς θεόπνευστος λόγος Μακάριε, ῥήγνυσι τὰς πλοκὰς τῶν ἀθέων αἱρέσεων, τῷ διστόμῳ ξίφει τοῦ Πνεύματος, Ἀγγελώνυμε Ποιμὴν Συνάδων, καὶ δείκνυσι πᾶσι τὴν ἀλήθειαν. Ὅθεν καὶ ταῖς σαῖς φωτιστικαῖς διδαχαῖς, τοῦ Θεοῦ τὸ ὀρθόδοξον σύστημα ὁδηγούμενον, προσκυνεῖ ὀρθοδόξως τοῦ Χριστοῦ τὴν Εἰκόνα, ᾧ καὶ νῦν παριστάμενος ἱκέτευε, τοῦ ῥυσθῆναι ἐκ κινδύνων, τοὺς τελοῦντας τὴν μνήμην σου, Πάτερ Ἁγιώτατε, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος τὸ φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα. Κεφ. β'. 12.

Τάδε λέγει Κύριος, ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ, καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Τίς οἶδεν, εἰ ἐπιστρέψει καὶ μετανοήσει, καὶ ὑπολείψεται εὐλογίαν ὀπίσω αὐτοῦ, εὐλογίαν καὶ θυσίαν, καὶ σπονδὴν Κυρίῳ τῷ Θεῷ ὑμῶν; Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε Λαὸν, ἁγιάσατε Ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστοὺς, ἐξελθέτω νυμφίος ἐκ τοῦ παστοῦ αὐτοῦ, νύμφη ἐκ τοῦ νυμφῶνος αὐτῆς. Ἀναμέσον τῆς κρηπῖδος καὶ τοῦ θυσιαστηρίου κλαύσονται οἱ Ἱερεῖς οἱ λειτουργοῦντες τῷ Κυρίῳ, καὶ ἐροῦσι. φεῖσαι Κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν Ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; καὶ ἐζήλωσε Κύριος τὴν γῆν αὐτοῦ καὶ ἐφείσατο τοῦ Λαοῦ αὐτοῦ. Καὶ ἀπεκρίθη Κύριος, καὶ εἶπε τῷ Λαῷ αὐτοῦ. Ἰδοὺ ἐγὼ ἐξαποστέλλω ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς ἔτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσι. Καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν, καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ καὶ ἀναβήσεται ὁ βρῶμος αὐτοῦ, ὅτι ἐμεγάλυνε Κύριος τὰ ἔργα αὐτοῦ. Θάρσει ἡ γῆ, Χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι. Θαρσεῖτε κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ, ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. Καὶ τὰ τέκνα Σιὼν Χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν, καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται οἱ ληνοὶ οἴνου καὶ ἐλαίου. Καὶ ἀποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς. Καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσατε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὃς ἐποίησε μεθ' ὑμῶν θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τοὺς αἰῶνας.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. γ'. 13.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· Νόμον δὲ καὶ ἔλαιον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ Τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς. Καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν, καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ. δ'. 7.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ γάρ ἐστι φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐά-

www.tezaurliturgic.ro



ρεσος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ Ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος, β΄.

Δεῦτε συμφώνως οἱ Πιστοί, τὸν τοῦ Χριστοῦ Ἱεράρχην καὶ Ὁμολογητήν, Μιχαὴλ τὸν ἀοίδιμον, ᾄσμασιν ἐγκωμίων καταστέψωμεν, ὡς ἀγωνισάμενον ὑπὲρ τῆς τοῦ Χριστοῦ Εἰκόνος, καὶ τῆς Παναγίας Μητρὸς αὐτοῦ, τὴν πίστιν τε τηρήσαντα, καὶ τὸν δρόμον τῆς ἀθλήσεως τελέσαντα, καὶ ἑαυτὸν ἱερεῖον ἄμωμον τῷ Θεῷ προσενέγκαντα. Ὧ καὶ πρεσβεύει ἀπαύστως, σὺν Ἱεράρχαις καὶ Μάρτυσι, λυτρωθῆναι ἐκ κινδύνων χαλεπῶν ἀκρίδος τε καὶ ἀνομβρίας, τοὺς ἐν πίστει τιμῶντας, τὴν θείαν μνήμην αὐτοῦ. Ἦχος, ὁ αὐτός.

Ἡ φωταυγής σου μνήμη Ἀγγελώνυμε Ἱεράρχα, Μιχαὴλ παμμακάριστε, τὰς ἡμῶν διανοίας ἐπιδημήσασα κατεφώτισε, μαρμαρυγαῖς τῶν στεῤῥῶν σου ἀγώνων, καὶ ἀρετῶν σου ἀκτῖσι πνευματικαῖς, δι' ὧν ὁδήγησον, ἡμᾶς παρακαλοῦμέν σε, εἰς ἐργασίαν τῶν τοῦ Θεοῦ Ἐντολῶν. Ὃν καὶ νῦν καθικέτευε, τυχεῖν ἡμᾶς ἐλέους, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως. Ἦχος, δ΄.

Δεῦτε τῶν Πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσαντες, καὶ τὸν Χριστοῦ Ἱεράρχην ὕμνοις τιμήσωμεν, Μιχαὴλ τὸν ἔνδοξον καὶ γενναῖον ἀγωνιστήν. Σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλε φαεινός, καταυγάζει τὰς διανοίας ἡμῶν, τῶν ἐν πίστει ἐκτελούντων τὴν σεβάσμιον μνήμην αὐτοῦ. Καὶ αἰτεῖται τὸ παρὰ Θεοῦ πλούσιον ἔλεος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν. Δόξα, ἦχος, πλ. α΄.

Πιστῶς πανηγυρίζομεν, τὴν σὴν μνήμην Ἱεράρχα Κυρίου Μιχαήλ, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ εὐσεβῶς ἀνυμνοῦντές σε λέγομεν, Χαίροις τῶν Ἀρχιερέων ἐγκαλλώπισμα, καὶ τῶν Μαρτύρων κλέος. Χαίροις τῶν δαιμόνων ὀλοθρευτά, καὶ ἔλεγχε τῶν τυράννων. Χαῖρε ὁ Θεοῦ ἀληθὴς καὶ γνήσιος Ποιμήν, παρ' οὗ καὶ χάριν, καὶ ἐξαιρέτως εἴληφας, τὴν

ὀλέ-

www.tezaurliturgic.ro



ὀλέθριον πλῆθος τῆς ἀκρίδος διώκειν, μὴ δυναμένης φέρειν τὴν σὴν μετ' εὐλαβείας ἐπίκλησιν. Αὐτὸν καθικέτευε Ἱερόαθλε Πάτερ, λυτρωθῆναι ἡμᾶς ἐκ κινδύνων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος, α'. Πανεύφημοι Μάρτυρες.

ΙΕράρχα εὔδοξε Χριστοῦ, Μιχαὴλ μακάριε, τῆς εὐσεβείας διδάσκαλε, ἐκδυσωπούμενόν σε, τῆς ἀκρίδος ῥῦσαι κάμπης τε καὶ σκώληκος, εὐχαῖς ταῖς πρὸς Θεόν σου Πανεύφημε, καὶ ἀποσόβησον, ἐκ τῆς Νήσου ταύτης Ὅσιε, ὡς ἐν πίστει τελούσης τὴν μνήμην σου.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

ΣΑῖς πρὸς τὸν Οἰκτίρμονα Θεὸν, θείαις παρακλήσεσιν, ὦ Μιχαὴλ Ἀγγελώνυμε, ῥῦσαι τῶν θλίψεων, καὶ κινδύνων Πάτερ τοὺς εἰς σὲ προστρέχοντας, ὀργῆς τε καὶ σεισμοῦ καὶ κακώσεως, καὶ ἀνομβρίας τε, καὶ ἀκρίδος δυσωποῦμέν σε, Ἱερέων σεπτὸν ἀκροθίνιον.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

ΙἈσεων νάματα ἡ σὴ, Κάρα τοῖς προστρέχουσιν, ἀναπηγάζει ἑκάστοτε, Ποιμὴν πολύαθλε, καὶ ἐκπλύνει πάθη καὶ βυθίζει φάλαγγας, δαιμόνων συνεργείᾳ τοῦ Πνεύματος. Διὸ ἱκέτευε, τῆς ἀκρίδος λυτρωθῆναι ἡμᾶς, καὶ ὁμίχλης καὶ ἀέρος βλάπτοντος.

Δόξα. ἦχος, πλ. δ'.

ΔΕῦτε τῶν πιστῶν ὁ Δῆμος, τὸν Ἱεράρχην τοῦ Χριστοῦ ἐν ὕμνοις τιμήσωμεν. Οὗτος γὰρ μὴ δειλιάσας τοῦ δυσωνύμου τὰς ἀπειλὰς, παῤῥησίᾳ τοῦτον διήλεγξε, καὶ ὑπὲρ τῆς ἀληθείας ὑπερορίαις πικραῖς παρ' ἐκείνου καταδικάζεται, καὶ ἀμείβων τόπον ἐκ τόπου τοῖς διωγμοῖς, τὸν καλὸν ἀγῶνα τῆς Πίστεως νομίμως τετέλεκε. ὅθεν καὶ ἐστέφθη παρὰ Θεοῦ διπλοῖς καὶ τοῖς στεφάνοις Ἱεραρχίας τε καὶ ἀθλήσεως. Ὧ καὶ πρεσβεύει ἀδιαλείπτως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ἀπολυτίκιον, ἦχος, δ'.

ΘΕῷ καθιέρωσας τὴν σὴν Παμμάκαρ ζωὴν, Ποιμὴν ἀνηγόρευσαι καὶ Ἱεράρχης σεπτὸς, Χριστοῦ ἱερώτατε. Θλίψεις ἐν ἐξορίαις Μιχαὴλ ὑπομείνας, ὅθεν εἰς τὰς αὐλὰς μετετέθης σκηνώσεις. Καὶ νῦν ἀναπηγάζεις ἡμῖν ῥεῖθρα ἰάσεων. Δόξα καὶ νῦν, τῆς Ἑορτῆς. Εἶτα τὸ, Νῦν Ἀπολύεις, ἡ Εὐλόγησις τῶν ἄρτων.

www.tezaurliturgic.ro



Καὶ ἡ λοιπὴ Ἀκολυθία. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον. Εἰς μὲν τὴν πρώτην στιχολογίαν, Καθίσματα τῆς τυχύσης Ἑορτῆς. Εἰς δὲ τὴν δευτέραν, Κάθισμα τῦ Ἁγίυ.

Ἦχος, δ'. Ἐπεφάνης σήμερον.

ΤΟν τῆς νίκης στέφανον, ὦ Μιχαὴλ Θεοφόρε, Οὐρανόθεν σήμερον ὡς εἰληφὼς παρὰ Θεῦ, ῥῦσαι τὺς πίστει τιμῶντάς σε, ἐκ τῆς ἀπειρίδος καὶ κάμπης Πανεύφημε.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος, δ'. Ταχὺ προκατάλαβε.

ΦΑιδρύνας τὸν βίον συ τῶν ἀρετῶν καλλοναῖς, γενόμενος ἄριστος Ἱεραρχὸς ἀληθῶς, σοφὲ Ἀγγελώνυμε, θλίψεσιν ἐξορίαις σεαυτὸν ὡραΐσας, αἴω πρὸς τὰς αὔλυς μετετέθης χορείας, μεθ' ὧν Χριστὸν τὸν Θεὸν ἱκέτευε ἐλεηθῆναι ἡμᾶς.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί, τὸ, α. Ἀντίφωνον τῦ δ'. Ἤχυ.

Προκείμενον. ἦχος, δ'.

Οἱ Ἱερεῖς συ Κύριε ἐνδύσονται δικαιοσύνην.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Εὐαγγέλιον, ἐκ τῦ κατὰ Λυκᾶν. Ζήτει Δεκεμβρίῳ, ε. ἢ, ς'.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησῦς ἐπὶ τόπυ πεδινῦ, καὶ ὄχλος μαθητῶν αὐτῦ.

Ὁ Ν'. Δόξα. Ταῖς τῦ Ἱεράρχυ.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκυ.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Ἰδιόμελον, Ἦχος, πλ. β'.

ΤΟ θεῖον πῦρ καὶ ἄϋλον τὸ τὰς διανοίας τῶν πιστῶν καταυγάζον ἐν τῇ καρδίᾳ συ Μιχαὴλ δεξάμενος, Ἀρχιερεὺς Συνάδων ἐσχημάτισας. Ὅθεν ταῖς ἀκτῖσι ταῖς μυστικαῖς πάντας φωτίζεις τὺς προσιόντας τῇ θείᾳ Κάρᾳ συ. φλέγεις δὲ πάλιν τὰς ἀκανθώδεις τῶν αἱρετικῶν μυθοεργίας, καὶ ἐκδιώκεις τὴν ὀλέθριον τῆς ἀκρίδος πληθύν. Ἀλλ' ὦ Μύστα τῦ Χριστῦ, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς ς'.

Καὶ τῦ Ἁγίυ εἰς ς'. Κανὼν τῦ Ἁγίυ.

Ἦχος,

www.tezaurliturgic.ro



Ἦχος, β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἀπορρήτῳ λάμψας φωτισμῷ, Πάτερ δι' ἀσκήσεως, Ἀρχιερεὺς τοῦ Θεοῦ ἐχρημάτισας, Μιχαὴλ θεσπέσιε, τὸ βασίλειον, ποδηγῶν ἱεράτευμα, καὶ Χριστοῦ ποιμαίνων, σὺ τὴν Ἐκκλησίαν Παμμακάριστε.

Ῥητορεύων στόματι λαμπρῷ, πᾶσι διεσάφησας, πανευσεβῶς, τὰ θεόπνευστα δόγματα, Μιχαὴλ Πανόλβιε, τῶν αἱρέσεων, διελέγχων τὸ βλάσφημον, καὶ τῆς εὐσεβείας, ἄριστα Παμμάκαρ προϊστάμενος.

Χαρισμάτων θείων γεγονὼς, μάκαρ ἐνδιαίτημα, πᾶσι πιστοῖς προφανῶς μεταδέδωκας, Μιχαὴλ Θεόπνευστε, θεομίμητον, πολιτείαν κτησάμενος, καὶ δικαιοσύνην, περιβεβλημένος ὡς ἱμάτιον.

Θεοτοκίον.

Ἐκ Γαστρός σου Πάναγνε Σεμνὴ, λάμψας ἡμῖν Ἥλιος, θεουργικαῖς, ἀστραπαῖς κατεφαίδρυνεν, ἐκδιώξας ἅπασαν, τῶν δαιμόνων, τὴν σκοτεινόμορφον σύγχυσιν, ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται.

Καταβασία. Τῆς Ἑορτῆς.

Ὠδὴ, γ΄. Ἐν Πέτρᾳ με τῆς Πίστεως.

Ῥεόντων προτετίμηκας Θεορρήμων, τὰ ἄρρευστα καὶ μένοντα δι' αἰῶνος, ποικίλως γὰρ διέπρεψας ἀνακράζων, οὐκ ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι Δίκαιος, πλὴν σοῦ Κύριε.

Ὑπέταξας τὰ πάθη δι' ἐγκρατείας, ἐφώτισας τὸν νοῦν σου τῇ θεωρίᾳ, ἐγένου πρακτικώτατος ἀναμέλπων, οὐκ ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι Δίκαιος πλὴν σοῦ Κύριε.

Ἐξεχύθη σοῖς χείλεσι θεία χάρις, ἐπλάτυνας τὸ στόμα σου καὶ ἐδέξω, σοφίας τὰ χαρίσματα καὶ ἐβόας, οὐκ ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι Δίκαιος πλὴν σοῦ Κύριε.

Θεοτοκίον.

Μαρίαν τὴν Πανάχραντον Θεοτόκον, ὑμνήσωμεν ὡς πρόξενον σωτηρίας, φανεῖσαν οἱ θεόφρονες καὶ βοῶμεν, οὐκ ἔστιν ἄλλη τις ἐλπὶς καὶ στήριγμα, τῶν πιστῶν Πανύμνητε Θεοδόξαστε.

Καταβασία. Τῆς Ἑορτῆς.

Κάθισμα, Ἦχος, α΄. Τὸν τάφον σου Σωτήρ.

Ἱερώσας αὐτὸν, διὰ βίου τελείου, καὶ ὤφθης Ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου, παρ' οὗ δυνάμενος, αἱρετίζοντα στόματα, ἀπεφίμωσας, καὶ

Χρι-

www.tezaurliturgic.ro



Χριστοῦ τῆς Εἰκόνος, ἀγωνιζόμενος, καὶ διωκόμενος Πάτερ, τὸν δρόμον τετέλεκας.

Δόξα καὶ νῦν. τῆς Ἑορτῆς.

Ὠδὴ, δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Γλιχόμενος, τὸν στεφάνων τῆς δόξης κατέλιπες, σαρκὸς τὴν εὐπάθειαν, Ἱερομύστα πανόλβιε, ὅλον δὲ τὸν βίον σου, ὡς εὐωδέστατον θῦμα Χριστῷ τέθεικας.

Χωλάναντες, ἀπαθείας τῆς τρίβου κατέπεσον, εἰς ζόφον αἱρέσεως οἱ νῦν φανέντες ἀλλότριοι, οὕσπερ ἐξεφαύλισας, Χριστοῦ τιμῶν τὴν Εἰκόνα Παμμακάριστε.

Ἡ Γλῶσσά σου, ἀνεδείχθη τοῦ Πνεύματος κάλαμος, Μιχαὴλ Πανένδοξε, οἰκονομίαν τὴν ἔνσαρκον, γραφὴν μελετήσασα, τοῦ παντοκράτορος Λόγου Πανασίδιμε.

Θεοτοκίον.

Ἰθυνόν μου, Θεοτόκε τὸν βίον προστάγματι, ἐνθέῳ ῥυθμίζουσα, τοῦ Σαρκωθέντος Λόγου ἐκ σοῦ, καὶ πρὸς φῶς ὁδήγησον, Παρθενομῆτορ Μαρία Θεονύμφευτε.

Ὠδὴ, ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Ἐξ ἀγκαλῶν, ἀνετέθης τῷ Λόγῳ Ἱεροφάντωρ, εὐπρεπὲς ἀνάθημα δεδειγμένος, ἐνδιαπρέψας, πρακτικῇ θεωρίᾳ, καὶ σοφίας καρπὸν δρεψάμενος, γέγονας Ποιμὴν καὶ σαφὴς ἀξιόληπτος.

Ῥῆμα Θεοῦ, δαψιλῶς κατοικῆσαν ἐν σοὶ Θεόφρων, ποταμοὺς ἀνέβλυσε διδαγμάτων, οἷς ἐντρυφῶντες, εὐφραινόμεθα Μάκαρ, σὲ μεσίτην σαφῶς πλουτήσαντες, ἵλεων ἡμῖν ἐργαζόμενον Κύριον.

Ὁ Θεϊκῇ, δυναστείᾳ τὰ πάντα διακοσμήσας, σὲ ὦ Θεοφάντορ Ἱερωσύνης, μυστικωτάτης, κατηγλάϊσε μύρῳ, προγινώσκων τὴν σὴν λαμπρότητα, ὤφθης Ἱερεὺς τοῦ Θεοῦ μεγαλόφωνος.

Θεοτοκίον.

Ἴσον ἡμῖν, κατὰ πάντα γενέσθαι καταξιώσας, ἐν σοὶ κατεσκήνωσε Θεομῆτορ Πατρὸς ἐκλάμψας ὁ πανάγιος Λόγος, καὶ ἐτέχθη ἐκ σοῦ Παναμώμε, ἄνθρωπος ὁμοῦ καὶ Θεὸς Παντοδύναμος.

Ὠδὴ, ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Σωτηρίου χιτῶνα Πανεύφημε, θείας εὐφροσύνης τε περιβαλλόμενος, ὁμολογίας στέφανον, πρὸς Θεοῦ ἐκομίσω ἐπάξιον.

Ὑπο-

www.tezaurliturgic.ro



Υ'Πομείνας πικρὰς ἐξορίας σοφὲ, εἰς εὐρυχωρότατον πλάτος κατήντησας, τοῦ Παραδείσου Μάρτυσι, συγχορεύων Θεόφρων πανόλβιε.

ΜΑθητὴς χηματίσας, Χριςοῦ τοῦ Θεοῦ, τούτου τὰ παθήματα, Μάκαρ ἐζήλωσας, προκινδυνεύων ἄρισα, τῆς αὐτοῦ Ἐκκλησίας Θεόπνευςε.

Θεοτοκίον.

ΝΟεϱῶς ἐμυοῦντο τὴν ἄφρασον, πάντες οἱ Προφῆται σου Πάναγνε κύησιν, πνευματικῶς τυπούμενοι, καὶ προλέγοντες πᾶσι τὰ μέλλοντα.

Καταβασία. Τῆς Ἑορτῆς.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

ΩʹΣπερ μέγας ἥλιος ἐξανατείλας, καταυγάζεις ἅπαντας τῶν ἀρετῶν σου τῷ φωτὶ, καὶ τῶν θαυμάτων ταῖς λάμψεσι, Θαυματοφόρε Ἀγγέλων ὁμώνυμε.

Ὁ Οἶκος.

ΘΕίῳ μύρῳ σὲ ἔχρισεν Ὅσιε, Πνεῦμα τὸ Θεῖον σαφῶς καὶ ἀπέδειξεν, Ἀρχιερέα σοφὸν λαὸν ποιμαίνοντα καλῶς, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, Ὅθεν σε καὶ θαύμασι κατεπλούτισε, τὰς νόσους ἑκάστοτε θεραπεύοντα τῶν ἐν πίςει προσιόντων, καὶ τιμώντων τὴν ἔνδοξον μνήμην σου, καὶ βοώντων σοι ἀπαύςῳ φωνῇ, τῆς ἀκριβοῦς ἡμᾶς πρεσβείαις σου λύτρωσαι, θαυματοφόρε Μιχαὴλ Ἀγγέλων ὁμώνυμε.

Τῷ αὐτῷ Μηνὶ, ΚΓ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Μιχαὴλ Ἐπισκόπου Συνάδων.

Στίχ. Τῷ κυματώδει μικρὸν ἐμπρέψας βίῳ.
Λύει Μιχαὴλ, οἷα κοῦφη πομφόλυξ.
Εἰκάδι τριτάτῃ Μιχαὴλ Νόες ἦξεν ἄειραν.

Ὠδὴ, ζ'. Ἀντίθεον πρόςαγμα.

ΟΥ'κ ἔφερε γλώσσης σου τὸν θεῖον φθόγγον, ὁ θὴρ ὁ δυσώνυμος Μιχαὴλ Ἱερώτατε, ἀλλ' ὑπερορίαις σε καταδικάζει μακραῖς, ὅμως κατηχύνετο τὴν σὴν, Ἱεροκῆρυξ ὁρῶν ςεῤῥότητα.

ΙʹΘύνεται Πάνσοφε ταῖς διδαχαῖς σου, Χριςοῦ τὸ πανίερον, ὀρθόδοξόν τε σύςημα, ἐγένου γὰρ ὄργανον θαυματουργὲ Μιχαὴλ, Πνεύματι κρουόμενον βοῶν, τὰ μεγαλεῖα τοῦ Παντοκράτορος.

ΣΟφῶς ἐςηλίτευσας τῶν δυσωνύμων, τροφίμων τοῦ μαίνοντος, τὴν βλάσφημον ἀσέβειαν, Χριςοῦ τὴν πανάχραντον Πάτερ Εἰκόνα τρανῶς, καὶ τῆς Θεομήτορος τιμῶν, καὶ τῶν Ἁγίων Μιχαὴλ Ὅσιε.

Θεο-

www.tezaurliturgic.ro



Θεοτοκίον.

ΣΑρκώσεως γέγονας Θεοῦ τοῦ Λόγου, Παρθένε Πανάμωμε, ὡραῖον ἐνδιαίτημα, ἐκ σοῦ γὰρ ἀνέλαβε, δι᾽ εὐσπλαγχνίαν πολλὴν, ὅλον με τὸν ἄνθρωπον, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ὠδὴ, ή. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

ἘΠὶ τοῦ βήματος ἔσω, Θεοκῆρυξ Μιχαὴλ οὐ κατεπλάγης, ἀπειλὰς τῶν ἀνόμων, ἀλλ᾽ ἐλευθέρᾳ φωνῇ, ἐβόας, Εἰκόνα τὴν Ἄχραντον, σέβω τοῦ Σωτῆρος, Χριστοῦ καὶ τῶν Ἁγίων.

ὉΤὸ πρωτότυπον εἶδος, τῆς Εἰκόνος τὴν τιμὴν Ἱεροφάντωρ, διαβαίνουσαν Πάτερ ταῖς θεπνεύστοις γραφαῖς, Συνάδων, τοὺς πάντας ἐδίδαξας, σέβειν τὴν Εἰκόνα, Χριστοῦ καὶ τῶν Ἁγίων.

ΜΥσταγωγὸς τῶν ὑπὲρ νοῦν, τῶν Ἁγίων Λειτουργὸς καὶ Οὐρανίων, χρηματίζων Θεόφρων, Ἀρχιερεύς τε πιστὸς, πταισμάτων τὴν ἄφεσιν αἴτησαι, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἱεροφάντα.

Θεοτοκίον.

ῬΕῖθρον ἰάσεων ἡμῖν, ἀεννάως τοῖς πιστοῖς ἀναπηγάζεις, οὗ τὴν ἄφθονον χάριν, ἀπαρρυόμενοι σοῦ ὑμνοῦμεν, τὸν Τόκον τὸν Ἄχραντον, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ΄. Ἀνάρχου Γεννήτορος.

ἈΠείρῳ λαμπόμενος, νῦν φωτισμῷ Πανόλβιε, τῷ Φωτὶ τῷ μεγάλῳ ὡς παριστάμενος, τοῦ πεποθημένου σοι τέλους, τυχεῖν σαφῶς, Πάτερ ἠξιώθης, πρὸς ὃ σπεύδων ἔδραμες, εὐσεβῶς πολιτευσάμενος.

ἸΔεῖν κατηξίωσαι, τὴν ὑπὲρ νοῦν Λαμπρότητα, ἧς ἐν γῇ τὰς ἐμφάσεις Πάτερ ἐκέκτησο, ἀλλὰ μεσιτεύων ῥυσθῆναι τοὺς φοιτητὰς, Χριστὸν ἐκδυσώπει, τοὺς σὲ νῦν γεραίροντας, καὶ τιμῶντας ἀξιάγαστε.

ῬΩσθεὶς Θείᾳ Χάριτι, σοφίας σου πυρσεύμασι, θεομάχων τὸ θράσος σοφῶς κατέσβεσας, τῶν ἀπαυγασμάτων τῶν τῆδε, ὡς τὴν πηγὴν ἔνδον κεκτημένος, Μιχαὴλ θεσπέσιε, Χρυσοκῆρυξ Ἱερώτατε.

Θεοτοκίον.

ὩΣ πόκος Πανάμωμε, τὸν ὄμβρον τὸν Οὐράνιον, ἐν Γαστρὶ συλλαβοῦσα ἡμῖν ἐκτέτοκας, τὸν τὴν ἀμβροσίαν διδόντα, τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν Πανύμνητον, Θεοτόκον καταγγέλλουσι.

Καταβασία. Τῆς Ἑορτῆς.

Ἔξα-

www.tezaurliturgic.ro



Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΣΕ νῦν καθικετεύομεν, Θεὲ Θεῶν καὶ Κύριε, ταῖς τοῦ σεπτοῦ Ἱεράρχου καὶ Μάρτυρος ἱκεσίαις, ῥῦσαι ἡμᾶς ἐκ θλίψεως, καὶ πάσης πειρασάσεως, ἀκρίδος ἀνομβρίας τε, τῶν δεινοτάτων μαστίγων, καὶ πάσης ἄλλης ἀνάγκης. Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Ἵστῶμεν Στίχους, δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος, δ'. Ὡς Γενναῖον ἐν Μάρτυσι.

ΙΕρέων ἐν τάγμασιν, Ἀσκητῶν ὁμηγύρεσι, καὶ χοροῖς Μαρτύρων συγκαταλέλεξαι, ὑπὲρ Χριστοῦ Ἀγγελώνυμε, σοφαῖς ἀποδείξεσι, παρανόμου δικαστοῦ, διελέγχων ἀπόνοιαν, οὗ προστάγματι, ἐξορίᾳ μακρᾷ κατεδικάσθης, ἀμειβόμενος Παμμάκαρ, τόπον ἐκ τόπου θλιβόμενος.

ΤΗς σοφίας τὸ τάλαντον, πλεονάσας Πανόλβιε, τῆς χαρᾶς ἠξίωσαι τοῦ Κυρίου σου, πεποικιλμένος τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, καὶ τῇ αἴγλῃ νοητῶς, ἀποστίλβων τοῦ Πνεύματος, νῦν παρίστασαι, τῷ Θεῷ καὶ Σωτῆρι ἱκετεύων, τοῦ ῥυσθῆναι πάσης βλάβης καὶ τῆς ἀκρίδος τοὺς δούλους σου.

ΦΩταυγὴς ὥσπερ ἥλιος, τοὺς ἐν σκότει καθεύδοντας, καταυγάζων ἅπαντας Παμμακάριστε, τῶν ἀρετῶν ταῖς λαμπρότησι, Θεόφρον πανόλβιε, Ἀθλητῶν ἡ καλλονή, Ἱερέων εὐπρέπεια ἰσοστάσιε, τῶν Ἁγίων Ἀγγέλων καὶ Μαρτύρων, καθικέτευε σὺν τούτοις, ὀργῆς ῥυσθῆναι καὶ θλίψεως. Δόξα. Ἦχος, πλ. δ'.

ΙΕρωσύνης τὴν στολὴν ἐνδυσάμενος Ὅσιε, τῶν Μαρτύρων ὑπῆλθες τὸ στάδιον, καὶ Χριστῷ προσενήνεξαι θυσία καθαρά, διπλοῖς στεφάνοις παρ' αὐτοῦ κοσμούμενος, Ἱερωσύνης τε καὶ ἀθλήσεως. Διὸ ὡς παῤῥησίαν ἔχων τῷ στεφοδότῃ Χριστῷ, πρέσβευε ὑπὲρ ἡμῶν, λυτρωθῆναι τῶν ἐπηρεαζόντων δεινῶν, ἀκρίδος καὶ ἀνομβρίας, καὶ πάσης τῆς καθ' ἡμῶν δικαίας ἀπειλῆς τοῦ Οἰκτίρμονος Θεοῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ, γ'. καὶ ς'.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος, βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ. Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου. Κεφ. δ'. 14.

ΑΔελφοὶ ἔχοντες Ἀρχιερέα μέγαν διεληλυθότα τοὺς Οὐρανοὺς Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν Ἀρχιερέα,

www.tezaurliturgic.ro



ρέα, μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ᾿ ὁμοιότητα, χωρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Πᾶς γὰρ Ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. Καὶ διὰ ταύτην ὀφείλει, καθὼς ὑπὲρ τοῦ Λαοῦ, οὕτω καὶ ὑπὲρ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τὶς λαμβάνει τὴν τιμὴν, ἀλλ᾿ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γεννηθῆναι Ἀρχιερέα, ἀλλ᾿ ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός μου εἶ Σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Καθὼς καὶ ἐν ἑτέρῳ λέγει. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνας κατὰ τὴν τάξιν Μελχισεδέκ.

Εὐαγγέλιον, Ζήτει εἰς Ἱερομάρτυρας, καὶ Ὁμολογητάς.

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ιβ´.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ, ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ, τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν οὖν προσφέρωσιν Ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς, ἢ τί ἀπολογήσεσθε, ἢ τί εἴπητε. Τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει Ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Κοινωνικόν. Εἰς μνημόσυνον.

# ΤΕΛΟΣ.